## II

δέξαι μ', Ἡράκλεις, Ἀρχεστράτου ἱερὸν ὅπλον
ὄφρα ποτὶ ξεστὰν παστάδα κεκλιμένα
γηραλέα τελέθοιμι χορῶν ἀίουσα καὶ ὕμνων.
ἀρκείτω στυγερὰ δῆρις Ἐνυαλίου.

## III

τάνδε παρὰ τριόδοις τὰν Ἄρτεμιν Ἀγελόχεια
ἔτ' ἐν πατρὸς μένουσα παρθένος δόμοις
ἕσσατο Δαμαρέτου θυγάτηρ· ἐφάνη γάρ οἱ αὐτά
ἱστοῦ παρὰ κρόκαισιν ὡς αὐγὰ πυρός.

## IV

Ἑρμιονεὺς ὁ ξεῖνος, ἐν ἀλλοδαπῶν δὲ τέθαπται
Ζωίλος Ἀργείαν γαῖαν ἐφεσσάμενος,
ἂν ἐπί οἱ βαθύκολπος ἀμάσατο δάκρυσι νύμφα
λειβομένα παῖδές τ' εἰς χρόα κειράμενοι.

## V

τὴν ἀπὸ πυρκαϊῆς ἐνδέξιά φασι κέλευθον
Ἑρμῆν τοὺς ἀγαθοὺς εἰς Ῥαδάμανθυν ἄγειν,
ᾗ καὶ Ἀριστόνοος, Χαιρεστράτου οὐκ ἀδάκρυτος
παῖς, ἡγησίλεω δῶμ' Ἄιδος κατέβη.